ἡ Ἑλληνικὴ γλῶσσα καθ᾽ αὑτὴν φωτιζομένη
(aka) Lingua Graeca Per Se Illustrata

By Seumas Macdonald (with much help)
(This particular "Orbergized" version prepared by David Ring, aka Kirkos)

κεφάλαιον τὸ πρῶτον

ἡ Ἑλλάς ἐστιν ἐν τῇ Εὐρώπῃ. ἡ Ἰταλία ἐν τῇ Εὐρώπῃ ἐστίν. ἡ Ἑλλὰς καὶ ἡ Ἰταλία εἰσὶν ἐν τῇ Εὐρώπῃ. καὶ ἡ Ἱσπανία ἐστὶν ἐν τῇ Εὐρώπῃ. καὶ ἡ Ἱσπανία καὶ ἡ Ἰταλία καὶ ἡ Ἑλλάς εἰσιν ἐν τῇ Εὐρώπῃ.

ἡ Αἴγυπτος ἐν τῇ Εὐρώπῃ οὐκ ἔστιν. ἡ Αἴγυπτος ἐν τῇ Λιβύῃ ἐστὶν. ἡ Γαλλία οὐκ ἔστιν ἐν τῇ Λιβύῃ. ἡ Γαλλία ἐστὶν ἐν τῇ Εὐρώπῃ. ἡ δὲ Συρία οὐκ ἔστιν ἐν τῇ Εὐρώπῃ, ἀλλὰ ἐν τῇ Ἀσίᾳ. καὶ ἡ Ἀραβία ἐν τῇ Ἀσίᾳ ἐστίν. ἡ Συρία καὶ ἡ Ἀραβία ἐν τῇ Ἀσίᾳ εἰσίν. ἡ δὲ Γερμανία οὐκ ἔστιν ἐν τῇ Ἀσίᾳ, ἀλλὰ ἐν τῇ Εὐρώπῃ ἐστίν. καὶ ἡ Βρεττανία ἐν τῇ Εὐρώπῃ ἐστίν. ἡ Γερμανία καὶ ἡ Βρεταννία εἰσὶν ἐν τῇ

Εὐρώπῃ. ἆρα ἡ Γαλλία ἐν τῇ Εὐρώπῃ; ἡ Γαλλία ἐστὶν ἐν τῇ Εὐρώπῃ.

ἆρα...; = ...?

ἆρα ἡ Ἀντιόχεια ἐν τῇ Γαλλίᾳ ἐστίν; ἡ Ἀντιόχεια ἐν τῇ Γαλλίᾳ οὐκ ἔστιν. ποῦ ἐστιν ἡ Ἀντιόχεια; ἡ Ἀντιόχειά ἐστιν ἐν τῇ Συρίᾳ. ποῦ ἐστιν ἡ Συρία; ἡ δὲ Συρία ἐν τῇ Ἀσίᾳ ἐστίν. ποῦ εἰσιν ἡ Γαλλία τε καὶ ἡ Γερμανία; καὶ ἡ Γαλλία καὶ ἡ Γερμανία ἐν τῇ Εὐρώπῃ εἰσίν.

ἆρα ὁ Νεῖλος ἐν τῇ Εὐρώπῃ ἐστίν; ὁ Νεῖλος ἐν τῇ Εὐρώπῃ οὐκ ἔστιν. ποῦ ὁ Νεῖλός ἐστιν; ὁ Νεῖλός ἐστιν ἐν τῇ Λιβύῃ. ὁ δὲ Ῥῆνος ποῦ ἐστιν; ὁ Ῥῆνος ἐν τῇ Γερμανίᾳ ἐστίν. ποταμὸς ὁ Νεῖλός ἐστιν. καὶ ὁ Ῥῆνος ποταμός ἐστιν. καὶ ὁ Νεῖλος καὶ ὁ Ῥῆνός εἰσι ποταμοί. καὶ ὁ Ἴστρος ποταμός ἐστιν. ὁ μὲν Ῥῆνος καὶ ὁ Ἴστρος εἰσὶ ποταμοὶ ἐν τῇ Γερμανίᾳ, ὁ δὲ Θύμβρις ἐν τῇ Ἰταλίᾳ. ἀλλὰ ὁ Ὀρόντης ἐστὶ ποταμὸς ἐν τῇ Συρίᾳ.

ποταμός



ἡ Σικελία ἐστὶ νῆσος. καὶ ἡ Κρήτη ἐστὶ νῆσος. καὶ ἡ Κρήτη καὶ ἡ Σικελία εἰσὶ νῆσοι. νῆσός ἐστιν ἡ Βρεττανία. ἡ δὲ Ἰταλία νῆσος οὐκ ἔστιν. ἡ μὲν Σικελία νῆσος μεγάλη ἐστίν, ἡ δὲ Δῆλός ἐστι νῆσος μικρά. ἡ δὲ Νάξος νῆσος μεγάλη. ἡ δὲ Βρεττανία οὐ νῆσος μικρά, ἀλλὰ νῆσος μεγάλη ἐστίν. ἡ Σικελία καὶ ἡ Κρήτη οὐ νῆσοι μικραί, ἀλλὰ νῆσοι μεγάλαι εἰσίν.

ἡ πόλις

ἡ Σπάρτη πόλις ἐστίν. ἡ Σπάρτη ἐστὶν ἐν τῇ Ἑλλάδι. ἡ Σπάρτη ἐστὶ πόλις Ἑλληνική. καὶ αἱ Ἀθῆναι πόλις ἐστὶν Ἑλληνική. καὶ ἡ Σπάρτη καὶ αἱ Ἀθῆναι πόλεις Ἑλληνικαί εἰσιν. ἡ δὲ Ῥώμη ἐστὶ πόλις ἐν τῇ Ἰταλίᾳ. ἡ δὲ Ἀντιόχεια πόλις ἐν τῇ Συρίᾳ ἐστίν. ἡ Ἀντιόχεια, αἱ Ἀθῆναι, ἡ Ῥώμη εἰσὶ πόλεις μεγάλαι.

ποῦ ἐστιν αἱ Ἀθῆναι; αἱ Ἀθῆναί ἐστιν ἐν τῇ Ἑλλάδι. ποῦ ἡ Ῥώμη ἐστίν; ἐν τῇ Ἰταλίᾳ ἐστὶν ἡ Ῥώμη. πόλις Ῥωμαϊκή ἐστιν ἡ Ῥώμη. ποῦ ἐστιν τὸ Βυζάντιον; τὸ Βυζάντιόν ἐστιν ἐν τῇ Ἑλλάδι. ἆρα τὸ Βυζάντιον πόλις Ἑλληνικὴ ἢ Ῥωμαϊκή; ἔστι πόλις καὶ Ἑλληνικὴ καὶ Ῥωμαϊκή.

Ῥαβέννα οὐκ ἔστι πόλις Ἑλληνική, ἀλλὰ πόλις Ῥωμαϊκή. ἡ Ῥώμη καὶ ἡ Ῥαβέννα πόλεις Ῥωμαϊκαί εἰσιν. πόλεις δὲ Ἑλληνικαί εἰσιν αἱ Ἀθῆναι καὶ ἡ Σπάρτη.

Βυζάντιον = Κωνσταντινούπολις

ἡ δὲ Σικελία οὐκ ἔστιν νῆσος Ἑλληνική, ἀλλὰ νῆσος Ῥωμαϊκή. ἡ δὲ Κρήτη, ἡ Ῥόδος, ἡ Νάξος, ἡ Σάμος, ἡ Χίος, ἡ Λέσβος, ἡ Λῆμνος, καὶ ἡ Εὔβοιά εἰσι νῆσοι Ἑλληνικαί.

ἐν τῇ Ἑλλάδι πολλαὶ νῆσοί εἰσιν. ἐν τῇ Ἰταλίᾳ καὶ ἐν τῇ Ἑλλάδι εἰσὶ πολλαὶ πόλεις. ἐν τῇ Γαλλίᾳ καὶ ἐν τῇ Γερμανίᾳ πολλοί εἰσι ποταμοί. ἆρα πολλοὶ ποταμοὶ καὶ πολλαὶ πόλεις ἐν τῇ Ἀραβίᾳ; ἐν τῇ Ἀραβίᾳ οὐ πολλοί, ἀλλ᾽ ὀλίγοι ποταμοί εἰσι καὶ ὀλίγαι πόλεις.

ἆρα μὴ ἡ Κρήτη πόλις ἐστίν; οὐχί. ἡ Κρήτη πόλις οὐκ ἔστιν. τί ἐστιν ἡ Κρήτη; ἡ Κρήτη νῆσός ἐστιν. ἆρα μὴ ἡ Σπάρτη νῆσός ἐστιν; οὐ νῆσός ἐστιν ἡ Σπάρτη. τί ἡ Σπάρτη ἐστίν; ἀλλὰ πόλις ἐστὶν ἡ Σπάρτη. ὁ δὲ Ὀρόντες, τί ἐστίν; ὁ Ὀρόντες ἐστὶ ποταμὸς μέγας. ἆρα μὴ ἡ Ἀτλαντικὴ θάλαττα μικρά ἐστιν; οὐ μικρά ἐστιν, ἀλλὰ μεγάλη ἐστὶν ἡ Ἀτλαντικὴ θάλαττα.

ὀλίγοι = 2? 3? 4? 20?
πολλοί = 100? 1000?

πολλοί <--> ὀλίγοι

πολλαί <--> ὀλίγαι

ἆρα...; --> ναί. / οὐχί.

ἆρα μὴ...; --> οὐχί.



ἡ Ῥωμαϊκὴ ἀρχή

ποῦ ἐστιν ἡ ἀρχὴ ἡ Ῥωμαϊκή; ἡ Ῥωμαϊκὴ ἀρχή ἐστιν ἐν τῇ Εὐρώπῃ, καὶ ἐν τῇ Ἀσίᾳ, καὶ ἐν τῇ Λιβύῃ. ἡ Ἱσπανία καὶ ἡ Συρία καὶ ἡ Αἴγυπτος ἐπαρχίαι Ῥωμαϊκαί εἰσιν. ἡ δὲ Γερμανία οὐκ ἔστιν ἐπαρχία Ῥωμαϊκή. ἡ Γερμανία ἐν τῇ ἀρχῇ τῇ Ῥωμαϊκῇ οὐκ ἔστιν. ἀλλὰ ἡ Γαλλία καὶ ἡ Βρεττανία εἰσὶν ἐπαρχίαι Ῥωμαϊκαί. ἐν τῇ Ῥωμαϊκῇ ἀρχῇ πολλαί εἰσιν ἐπαρχίαι. μεγάλη ἐστὶν ἡ ἀρχὴ ἡ Ῥωμαϊκή!

αἱ λέξεις καὶ οἱ ἀριθμοί

εἷς καὶ δύο ἀριθμοί εἰσιν. καὶ τρεῖς ἀριθμός ἐστιν. εἷς, δύο, τρεῖς ἀριθμοὶ Ἑλληνικοί εἰσιν. εἷς καὶ δύο εἰσὶ μικροὶ ἀριθμοί. χίλια μέγας ἀριθμός ἐστιν.

εἷς = 1
δύο = 2
τρεῖς = 3
χίλια = 1,000

τὸ Α καὶ τὸ Β γράμματά ἐστιν. καὶ τὸ Γ γράμμα ἐστίν. τὰ Α, Β, Γ ἐστὶ τρία γράμματα. τὸ Α ἐστι τὸ γράμμα τὸ πρῶτον, τὸ Β τὸ δεύτερον γράμμα, τὸ Γ τὸ τρίτον γράμμα. τὸ Γ γράμμα Ἑλληνικόν ἐστιν. τὸ C ἐστὶ γράμμα Ῥωμαϊκόν. τὸ C καὶ D γράμματα Ῥωμαϊκά ἐστιν. τὸ Γ καὶ Δ ἐστὶ γράμματα Ἑλληνικά.

τρία = τρεῖς

τὸ <<ποταμὸς>> καὶ τὸ <<πόλις>> λέξεις Ἑλληνικαί εἰσιν. τὸ <<ποῦ>> καὶ λέξις Ἑλληνική ἐστιν. τρία γράμματά ἐστιν ἐν τῇ λέξει τὸ <<ποῦ>>.	
ἐν τῇ λέξει τὸ <<ποταμὸς>> ἑπτά γράμματα καὶ τρεῖς συλλαβαί εἰσιν. ἡ πρώτη ἡ συλλαβή πο-, ἡ δευτέρα -τα-, ἡ τρίτη –μος. ἐν τῇ λέξει τὸ <<οὐκ>> εἰσὶ τρία γράμματα καὶ μία συλλαβή.	**ἑπτά** = 7 **μία** = εἷς = 1
τί ἐστι τρεῖς; τρεῖς ἀριθμὸς Ἑλληνικός ἐστιν. Γ τί ἐστιν; Γ γράμμα Ἑλληνικόν ἐστιν. ἆρα μὴ C γράμμα Ἑλληνικόν ἐστιν; οὐ γράμμα Ἑλληνικόν, ἀλλὰ γράμμα Ῥωμαϊκόν ἐστι C. ἆρα Β τὸ γράμμα τὸ πρῶτον; Β οὐ τὸ πρῶτον γράμμα, ἀλλὰ δεύτερόν ἐστιν. τί ἐστι τό <<οὐ>>; τὸ <<οὐ>> ἔστι λέξις Ἑλληνική. τὰ <<οὐ,>> <<ἀλλά,>> <<μέγας,>> <<ἀριθμός,>> λέξεις Ἑλληνικαί εἰσιν. καὶ τὸ <<λέξις>> ἐστὶ λέξις Ἑλληνική!	

κεφάλαιον τὸ δεύτερον: ἡ οἰκία

ὁ ἀνήρ

ἡ γυνή

ὁ παῖς καὶ ἡ κόρη

ὁ Γρηγόριος ἀνὴρ Ἑλληνικός ἐστιν. ἡ Εὐγενία γυνὴ Ἑλληνική ἐστιν. ὁ Ἀλέξιος παῖς Ἑλληνικός ἐστιν. καὶ ὁ Δημήτριος παῖς Ἑλληνικός ἐστιν. ἡ δὲ Εἰρήνη ἐστὶ κόρη Ἑλληνική. καὶ ἡ Σοφία ἐστὶ κόρη Ἑλληνική.

ὁ Ἀλέξιος καὶ ὁ Δημήτριος οὐκ ἄνδρες, ἀλλὰ παῖδές εἰσιν. ἄνδρες εἰσὶ Γρηγόριος καὶ Σωσίας καὶ Τροχίλος. γυναῖκές εἰσιν Εὐγενία καὶ Σύρα καὶ Κίλισσα. ἆρα ἡ Σοφία γυνή; οὐκ ἔστιν γυνὴ, ἀλλὰ κόρη ἡ Σοφία.

υἱός μήτηρ πατήρ θυγάτηρ

Γρηγόριος, Εὐγενία, Ἀλέξιος, Δημήτριος, Εἰρήνη, Σοφία, Σωσίας, Τροχίλος, Κίλισσα, ἐστὶ οἰκία Ἑλληνική. ὁ μὲν Γρηγόριος πατήρ ἐστιν. ἡ δὲ Εὐγενία μήτηρ ἐστίν. ὁ πατὴρ Ἀλεξίου καὶ Δημητρίου ἐστὶν ὁ Γρηγόριος. ὁ Γρηγόριος καὶ ὁ πατήρ ἐστιν τῆς Σοφίας καὶ τῆς Εἰρήνης. ἡ μήτηρ Ἀλεξίου καὶ Δημητρίου καὶ Σοφίας καὶ Εἰρήνης ἐστὶν ἡ Εὐγενία. ὁ δὲ Ἀλέξιος υἱός ἐστι Γρηγορίου. καὶ υἱός Εὐγενίας ἐστὶν ὁ Ἀλέξιος. καὶ ὁ Δημήτριός ἐστιν υἱὸς τοῦ Γρηγορίου καὶ τῆς Εὐγενίας.

τίς ἐστιν Ἀλέξιος; ὁ Ἀλέξιός ἐστι παῖς Ἑλληνικός. τίς ἐστι ὁ πατὴρ τοῦ Ἀλεξίου; Γρηγόριος ὁ πατὴρ τοῦ Ἀλεξίου ἐστίν. τίς ἡ μήτηρ τοῦ Ἀλεξίου ἐστίν; ἡ μήτηρ τοῦ Ἀλεξίου ἐστὶν Εὐγενία. τίς Εἰρήνη ἐστίν; κόρη Ἑλληνική ἐστιν ἡ Εἰρήνη. τίς ἐστιν ἡ μήτηρ τῆς Εἰρήνης; ἡ Εὐγενία μήτηρ τῆς Εἰρήνης ἐστίν. καὶ ὁ Γρηγόριος πατὴρ τῆς Εἰρήνης ἐστίν. ἡ Εἰρήνη ἐστὶ θυγάτηρ τοῦ Γρηγορίου καὶ τῆς Εὐγενίας.

τίνες εἰσὶν οἱ υἱοὶ τοῦ Γρηγορίου; οἱ υἱοὶ τοῦ Γρηγορίου εἰσὶν Ἀλέξιος καὶ Δημήτριος. τίνες εἰσὶν αἱ θυγατέρες τῆς Εὐγενίας; αἱ θυγατέρες τῆς Εὐγενίας εἰσὶν Εἰρήνη καὶ Σοφία. Ἀλέξιος, Δημήτριος, Εἰρήνη, Σοφία εἰσὶ τέτταρα παιδία. παιδία ἐστὶν υἱοὶ καὶ θυγατέρες, ἢ παῖδες καὶ κόραι. ἐν τῇ οἰκίᾳ τοῦ Γρηγορίου εἰσὶ τέτταρα παιδία, δύο υἱοὶ καὶ δύο θυγατέρες.

ἆρα Σωσίας υἱὸς τοῦ Γρηγορίου; ὁ Σωσίας οὐκ ἔστιν υἱὸς τοῦ Γρηγορίου, ἀλλὰ δοῦλος τοῦ Γρηγορίου ἐστίν. ὁ Γρηγόριος δεσπότης τοῦ Σωσίου ἐστίν. ὁ Γρηγόριός ἐστι δεσπότης τῶν δούλων. ὁ δὲ Σωσίας καὶ ὁ Τροχίλος εἰσὶ δοῦλοι δύο. ὁ δὲ Γρηγόριος πατὴρ παιδίων τε καὶ δεσπότης δούλων.



δοῦλος καὶ δεσπότης

ἆρα Κίλισσα θυγάτηρ τῆς Εὐγενίας; ἡ Κίλισσα οὐκ ἔστιν θυγάτηρ τῆς Εὐγενίας, ἀλλὰ δούλη τῆς Εὐγενίας ἐστίν. ἡ δὲ Εὐγενία ἐστὶ δέσποινα τῆς δούλης, τῆς Κιλίσσης. καὶ ἡ Σύρα ἐστὶ δούλη. καὶ ἡ Σύρα καὶ ἡ Κίλισσά εἰσι δύο δούλαι. ἡ δὲ Εὐγενία δέσποινά ἐστι τῶν δουλῶν.

ἀνήρ : γυνή :: δοῦλος : δούλη

ἀνήρ : δεσπότης :: γυνή : δέσποινα

τίνος δοῦλός ἐστι Τροχίλος; τοῦ Γρηγορίου δοῦλός ἐστιν Τροχίλος. τίνος δοῦλός ἐστι Σωσίας; καὶ ὁ Σωσίας ἐστὶ δοῦλος τοῦ Γρηγορίου. τίνος δούλη ἐστὶ Σύρα; ἡ Σύρα ἐστὶ δούλη τῆς Εὐγενίας. καὶ τίνος δούλη ἐστὶ Κίλισσα; τῆς Εὐγενίας ἐστι Κίλισσα ἡ δούλη.

πόσα παιδία ἐστὶν ἐν τῇ οἰκίᾳ; ἐν τῇ οἰκίᾳ τῆς Εὐγενίας καὶ τοῦ Γρηγορίου ἐστὶ τέτταρα παιδία. πόσοι υἱοὶ καὶ πόσαι θυγατέρες; δύο υἱοὶ καὶ δύο θυγατέρες εἰσὶν ἐν τῇ οἰκίᾳ. πόσοι δοῦλοι ἐν τῇ οἰκίᾳ εἰσίν; ἑκατόν; οὐχ ἑκατὸν, ἀλλὰ πεντήκοντα. ἐν τῇ οἰκίᾳ τοῦ Γρηγορίου εἰσὶ πολλοὶ μὲν δούλοι, ὀλίγα δὲ παιδία. ὁ δὲ Γρηγόριός ἐστι κύριος πολλῶν δούλων.

πόσα; = ἆρα ἕν; δύο; τρία; τίς ἐστι ὁ ἀριθμός τῶν παιδίων;

ἑκατόν = 100
πεντήκοντα = 50

κύριος = δεσπότης

τὸ <<δύο>> καὶ τὸ <<τρεῖς>>, καὶ τὸ <<τέτταρα>>, εἰσὶν ἀριθμοί. καὶ τὸ <<ἑκατὸν>> καὶ τὸ <<πεντήκοντα>> εἰσὶν ἀριθμοί. ὁ ἀριθμὸς τῶν δούλων ἐστὶν πεντήκοντα. ὁ δὲ ἀριθμὸς τῶν παιδίων ἐστὶ τέτταρα. ὁ μὲν ἀριθμὸς τῶν δούλων μέγας ἐστίν, ὁ δὲ ἀριθμὸς τῶν παιδίων μικρός. μέγας μὲν ἀριθμὸς δούλων, μικρὸς δὲ ἀριθμὸς παιδίων ἐν τῇ οἰκίᾳ τοῦ Γρηγορίου ἐστίν. ὁ Γρηγόριός ἐστιν ἀνὴρ Ἕλληνικός. ὁ δὲ Τροχίλος ἐστὶν ἀνὴρ Ῥωμαϊκός, ἀλλὰ δοῦλος. ὁ δὲ Σωσίας ἐστὶν ἀνὴρ Συριακός, ὁ ἀνὴρ τῆς Συρίας. ὁ Γρηγόριος οἰκεῖ ἐν τῇ Συρίᾳ. ἡ οἰκία τοῦ Γρηγορίου ἐστὶν ἐν τῇ Συρία, ἐν τῇ Ἀντιοχείᾳ. ἡ Ἀντιόχεια ἐστὶν πόλις ἐν τῇ Συρίᾳ.

ἆρα μὴ ἡ Εὐγενία Συριακή; οὐ Συριακή, ἀλλὰ Ἑλληνική ἐστιν. ἆρα μὴ ἡ Κίλισσα Ῥωμαϊκή; οὐ Ῥωμαϊκή, ἀλλὰ Συριακή ἐστιν ἡ Κίλισσα. καὶ Σύρα ἐστὶ Συριακή. καὶ Κίλισσα καὶ Σύρα εἰσὶ Συριακαί.

τίς ἐστιν Μάρκος; ὁ Μάρκος ἐστὶν δεσπότης Ῥωμαϊκός. ὁ Μάρκος οἰκεῖ ἐν τῇ Ἀντιοχείᾳ. καὶ ὁ Μάρκος καὶ ὁ Γρηγόριός εἰσι δεσπόται δύο. ὁ δὲ Σωσίας ἐστὶ δοῦλος τοῦ Γρηγορίου.

διάλογος

Μάρκος· τίνος δοῦλός ἐστιν Σωσίας;
Γρηγόριος· ὁ Σωσίας ἐστὶν δοῦλος ἐμοῦ.
Μ· ἆρα ὁ Τροχίλος δοῦλος σου;
Γ· ναί, καὶ ὁ Τροχίλος ἐστὶν δοῦλος μου. οἱ δοῦλοί μού εἰσιν Σωσίας καὶ Τροχίλος καὶ πολλοὶ ἄλλοι.
Μ· ἆρα ἡ Σύρα δούλη σου;

Γ· ναί, ἡ Σύρα δούλη μού ἐστιν, καὶ ἡ Κίλισσά ἐστι δούλη μου. αἱ δοῦλαί μού εἰσιν Σύρα καὶ Κίλισσα καὶ πολλαὶ ἄλλαι. ἡ οἰκία μού ἐστι μεγάλη. Μ· πόσοι δοῦλοί εἰσιν ἐν τῇ οἰκίᾳ σου; Γ· πεντήκοντα δοῦλοί εἰσιν ἐν τῇ οἰκίᾳ μου. Μ· τί; Γ· ὁ ἀριθμὸς τῶν δούλων μού ἐστιν πεντήκοντα. Μ· μόνον πεντήκοντα; ὁ ἀριθμὸς τῶν δούλων σού ἐστι μικρός. ἐν τῇ οἰκίᾳ μοῦ ἑκατὸν δοῦλοί εἰσιν.	

κεφάλαιον τὸ τρίτον: ὁ κακὸς παῖς

ἡ πρώτη σκηνή

πρόσωπα·

Γρηγόριος, Εὐγενία, Ἀλέξιος, Δημήτριος, Εἰρήνη, Σοφία.

Σοφία ᾄδει. ἡ Σοφία χαίρει. Δημήτριος, «στ!». ὁ Δημήτριος οὐχ χαίρει. ἡ δὲ Σοφία ἔτι ᾄδει. ὁ δὲ Δημήτριος, «στ!». ὁ Δημήτριος οὐχ χαίρει, ἀλλὰ ὀργίζεται. ἡ δὲ Σοφία ἔτι ᾄδει. ὁ δὲ Δημήτριος τὴν Σωφίαν τύπτει. ἡ δὲ Σοφία οὐκέτι ᾄδει, ἀλλὰ δακρύει. ὁ δὲ Δημήτριος γελᾷ, «ἃ ἅ». ὁ μὲν Ἀλέξιος Δημήτριον ὁρᾷ, ὁ δὲ Δημήτριος τὸν Ἀλέξιον οὐχ ὁρᾷ. ὁ Ἀλέξιος λέγει, «τί; ὁ Δημήτριος κόρην τύπτει, καὶ γελᾷ;» ὁ Ἀλέξιος ὀργίζεται, καὶ τὸν Δημήτριον τύπτει. ὁ δὲ Δημήτριος οὐκέτι γελᾷ, ἀλλὰ δακρύει. ὁ Δημήτριος τὸν Ἀλέξιον τύπτει. ἡ δὲ Σοφία λέγει, «ποῦ ἐστιν ἡ μήτηρ;» ἡ Σοφία τὴν Εὐγενίαν οὐχ ὁρᾷ. ἡ Σοφία καλεῖ τὴν Εὐγενίαν «μῆτερ, μῆ-τερ, ὁ Δημήτριός με τύπτει.» ἡ μὲν Εὐγενία οὐκ ἔρχεται, ὁ δὲ Γρηγόριος ἔρχεται.

δακρύει

γελᾷ

ἔρχεται

δύο **πρόσωπα**: πρόσωπον τραγικὸν καὶ πρόσωπον κωμῳδικόν

ἀνὴρ **ᾄδει**.

δύο παιδία **χαίρει**

οὐχ χαίρει, ἀλλὰ **ὀργίζεται**.

ἡ γυνὴ **οὐχ ὁρᾷ**.

ἡ δευτέρα σκηνή

Γρηγόριος ἐρωτᾷ, «τίς με καλεῖ;» ὁ δὲ Ἀλέξιος ἀποκρίνεται «οὐδείς σε καλεῖ, τὴν δὲ μητέρα καλεῖ ἡ Σοφία.» ὁ δὲ Γρηγόριος ἐρωτᾷ τὸν Ἀλέξιον, «ὅμως δὲ, ἐγὼ πάρειμι. διὰ τί ἡ Σοφία δακρύει;» ὁ δὲ ἀποκρίνεται, «ἡ Σοφία δακρύει διότι ὁ Δημήτριος αὐτὴν τύπτει.» ὁ δὲ Γρηγόριος λέγει, «τί; ἆρα μὴ παῖς κόρην μικρὰν τύπτει; φεῦ φεῦ! διὰ τί ὁ Δημήτριος αὐτὴν τύπτει;» ὁ δὲ ἀποκρίνεται, «διότι ᾄδει ἡ Σοφία;» ὁ δὲ Γρηγόριος λέγει, «ὦ θύγατέρ μου. ὁ Δημήτριος οὐκ ἔστιν παῖς ἀγαθὸς, ἀλλὰ κακός.» ὁ δὲ Ἀλέξιος λέγει, «ἡ Σοφία ἐστὶ κόρη ἀγαθή.» ὁ δὲ ἀποκρίνεται, «ναὶ, ὀρθῶς λέγεις, ἀλλὰ ποῦ ἐστιν ἡ μήτηρ; διὰ τί οὐκ ἔρχεται;» ὁ πατὴρ τὴν μητέρα οὐχ ὁρᾷ. ὁ δὲ Δημήτριος ἀποκρίνεται, «ἡ μήτηρ καθεύδει.» ὁ δὲ Ἀλέξιος λέγει, «στ! οὔ σε, ἀλλὰ μέ ἐρωτᾷ ὁ πατήρ!» ὁ δὲ Γρηγόριος, «παῖδες, σιγᾶτε! ποῦ ἡ μήτηρ ἐστίν;» ὁ δὲ Ἀλέξιος ἀποκρίνεται, «ἡ μήτηρ ἐνθάδε οὐκ ἔστιν.» καλεῖ ὁ Ἀλέξιος τὴν Εὐγενίαν, «μῆ-τερ, μῆ-τερ». ἡ δὲ Εὐγενία οὐκ ἀκούει οὐδὲ ἔρχεται. διὰ τί οὐκ ἔρχεται; διότι τοῦ Ἀλεξίου οὐκ ἀκούει. διὰ τί οὐκ αὐτοῦ ἀκούει; διότι ἡ Εὐγενία καθεύδει. ὁ δὲ Δημήτριος γελᾷ, «ἃ ἅ. οὐδὲ ἡ μήτηρ σου ἀκούει.» ὁ δὲ Γρηγόριος ὀργίζεται. λέγει, «σίγα!» καὶ ὁ πατὴρ τὸν υἱὸν τύπτει. τὺπ τὺπ τύπ. ὁ δὲ Δημήτριος νῦν δακρύει. ἆρα ἡ Εὐγενία τοῦ Δημητρίου ἀκούει; οὐδὲ αὐτοῦ ἀκούει, οὐδὲ τοῦ Ἀλεξίου, ἀλλὰ ἔτι καθεύδει. ἡ δὲ Εἰρήνη καὶ ἀκούει καὶ ἔρχεται.

ἡ τρίτη σκηνή

ὁ Ἀλέξιος λέγει, «ἡ μὲν μήτηρ οὐκ ἔρχεται, ἡ δὲ Εἰρήνη ἔρχεται.» ὁ δὲ Γρηγόριος αὐτοῦ οὐκ ἀκούει, διότι ὁ Δημήτριος πολὺ δακρύει. ἡ δὲ Εἰρήνη τὸν Ἀλέξιον ὁρᾷ, καὶ αὐτὸν ἐρωτᾷ, «διὰ τί ὁ Δημήτριος δακρύει;» ὁ δὲ Ἀλέξιος

ἐρωτᾷ : λέγει <<...;>>

ἀποκρίνεται <--> ἐρωτᾷ

ὅμως δὲ : ἀλλά

ἀγαθός <--> κακός

ὁ αἴλουρος **καθεύδει**.

σιγᾶτε! = μηδὲν (= 0) λέγετε! = στ!

ἀκούει

ἀποκρίνεται, «ὁ Δημήτριος δακρύει διότι ὁ πατὴρ τύπτει αὐτόν.» ἡ δὲ ἐρωτᾷ, «ἀλλὰ διὰ τί ὁ πατὴρ αὐτὸν τύπτει;» ὁ δὲ ἀποκρίνεται, «τὸν Δημήτριον τύπτει διότι παῖς κακός ἐστιν. ὁ δὲ Δημήτριος κόρην μικρὰν τύπτει.» ἡ δὲ Σοφία λέγει, «πάτερ, ἡ Εἰρήνη ἐνθάδε ἐστίν.» ὁ δὲ Γρηγόριος αὐτὴν ὁρᾷ, καὶ λέγει, «τί ἐστιν, ὦ θύγατερ;» ἡ δὲ ἀποκρίνεται, «ὦ πάτερ, διὰ τί ὁ Δημήτριος δακρύει;» ὁ δὲ, «διότι υἱὸς κακός ἐστιν. παῖς ὃς μικρὰν κόρην τύπτει οὐκ ἔστιν ἀγαθός. ὁ ἀγαθὸς παῖς οὐ τύπτει κόρην.>> ὁ Γρηγόριος αὖθις αὐτὸν τύπτει· τὺπ τὺπ τύπ. ὁ δὲ Δημήτριος πολὺ δακρύει. ὁ δὲ Ἀλέξιος χαίρει, ἀλλὰ οὐ γελᾷ. ἡ δὲ Σοφία οὐχ χαίρει οὐδὲ γελᾷ. διὰ τί; διότι κόρη ἀγαθή ἐστιν ἡ Σοφία. ἡ δὲ Εἰρήνη δακρύει. διὰ τί καὶ ἡ Εἰρήνη δακρύει; δακρύει διότι ὁ πατὴρ τὸν υἱὸν τύπτει. παῖς γελᾷ. κόρη δακρύει. τίς ἐστιν ὁ παῖς ὃς γελᾷ; ὁ παῖς ὃς γελᾷ Δημήτριός ἐστιν. τίς ἐστιν ἡ κόρη ἣ δακρύει; ἡ κόρη ἣ δακρύει ἐστιν Σοφία. ὁ Δημήτριος, ὃς κόρην τύπτει, ἐστὶ παῖς κακός. ἡ κόρη, ἣν Δημήτριος τύπτει, Σοφία ἐστίν. τίνα καλεῖ ἡ Σοφία; τὴν Εὐγενίαν καλεῖ. ἡ Εὐγενία, ἣν Σοφία καλεῖ, ἐστὶ μήτηρ παιδίων. ὁ Γρηγόριος τὸν Δημήτριον τύπτει. ὁ παῖς, ὃν Γρηγόριος τύπτει, Δημήτριός ἐστιν. τίνα καλεῖ ὁ Ἀλέξιος; καὶ ὁ Ἀλέξιος τὴν Εὐγενίαν καλεῖ. ἡ δὲ Εὐγενία οὐκ ἀκούει. τίνος ἀκούει ἡ Εὐγενία; οὐδενὸς καὶ οὐδέν.	

τὸ τέταρτον κεφάλαιον:

ἡ πρώτη σκηνή

πρόσωπα· Γρηγόριος, Εὐγενία, Σωσίας.

ὁ Γρηγόριός ἐστιν ἐν τῇ οἰκίᾳ. καὶ ἡ Εὐγενία ἐστὶν ἐν τῇ οἰκίᾳ. Γρηγόριος λέγει, «ἆρά ἐστιν οἶνος;» ἡ δὲ Εὐγενία λέγει, «οἶνος; ἐν τῷ οἰνῶνί ἐστιν οἶνος.>> ὁ δὲ Γρηγόριος ἔρχεται εἰς τὸν οἰνῶνα. ἆρά ἐστιν οἶνος ἐν τῷ οἰνῶνι; ναί, ἔστιν, καὶ πολύς. ὁ Γρηγόριος βλέπει ἀμφορέας. πότερον πολλοὶ ἢ ὀλίγοι ἀμφορῆς εἰσιν; πολλοί εἰσίν. ἐν τοῖς ἀμφορεύσιν ἐστὶν οἶνος. πόσοι ἀμφορῆς εἰσιν; ὁ Γρηγόριος ἀριθμεῖ τοὺς ἀμφορέας ἑαυτοῦ· εἷς, δύο, τρεῖς, τέτταρα, πέντε, ἕξ, ἑπτά, ὀκτώ, ἐννέα, δέκα, ἕνδεκα. μόνον ἕνδεκα. ὁ ἀριθμὸς τῶν ἀμφορέων οὐκ ἔστιν δώδεκα, ἀλλὰ ἕνδεκα. ἕνδεκα πάρεισιν, εἷς ἄπεστιν. ποῦ; ὁ Γρηγόριος ὀργίζεται. καὶ καλεῖ τὴν ἑαυτοῦ γυναῖκα, «Εὐγενία, ἐλθέ!» ἡ δὲ Εὐγενία ἔρχεται εἰς τὸν οἰνῶνα. ὁ δὲ, «πόσοι ἀμφορῆς οἴνου εἰσίν;» ἡ δὲ λέγει, «ἆρα οὐ δώδεκα;» καὶ ἀριθμεῖ αὐτούς. εἷς, δύο, τρεῖς … ἐννέα, δέκα, ἕνδεκα. λέγει ἡ Εὐγενία, «κάλει τοὺς δούλους!» ὁ δὲ Γρηγόριος καλεῖ τοὺς ἑαυτοῦ δούλους, «δοῦλοι, ἔλθετε!» ὁ μὲν Σωσίας ἔρχεται, ὁ δὲ Τροχίλος οὔ. νῦν, εἷς τῶν δούλων πάρεστιν, οἱ δὲ ἄλλοι ἄπεισιν. ὁ δὲ Γρηγόριος ὁρᾷ τὸν μὲν ἑαυτοῦ δοῦλον, Σωσίαν, τὸν δὲ δοῦλον Τροχίλον οὐχ ὁρᾷ. ὁ μὲν Σωσίας πάρεστιν, ὁ δὲ Τροχίλος ἄπεστιν. ὁ Γρηγόριος καὶ ἡ Εὐγενία καὶ ὁ Σωσίας πάρεισιν. Σωσίας, «ἰδού, ὁ δοῦλός σου ἐνθάδε ἐστίν.» Γρηγόριος, «τί; εἷς μόνος δοῦλος πάρεστιν. ποῦ εἰσιν οἱ ἄλλοι; ποῦ ἐστιν Τροχίλος; κάλει Τροχίλον.» ὁ δὲ Σωσίας καλεῖ Τροχίλον, «Τροχίλε, ἐλθέ». οὐδὲ Τροχίλος ἀκούει τοῦ Σωσίου, οὐδὲ ἔρχεται. ὁ Σωσίας πάλιν καλεῖ αὐτόν, «ἐλθέ,

οἶνος

οἰνών

βλέπει +/- = ὁρᾷ

ἀμφορεύς

πότερον A…ἢ B; = ἆρα A… ἢ B;

ἑαυτοῦ : Γρηγορίου

πάρεστι (= ἐνθάδε ἐστὶν) <--> ἄπεστι

ἐλθέ! > ἔρχεται

ὦ Τροχίλε». ὁ Τροχίλος ἔρχεται, καὶ νῦν δύο δοῦλοι πάρεισιν.

ἡ δευτέρα σκηνή

πρόσωπα· Γρηγόριος, Εὐγενία, Σωσίας, Τροχίλος.

Τροχίλος, ὃς τὸν δεσπότην οὐχ ὁρᾷ, ἐρωτᾷ τὸν Σωσίαν, «τί ἐστιν, ὦ Σωσία;» Σωσίας λέγει «στ! ὁ κύριος πάρεστιν. ἀσπάζου αὐτόν!» ὁ δὲ Τροχίλος ὁ δοῦλος ἀσπάζεται τὸν δεσπότην, «χαῖρε, ὦ κύριε». ὁ δὲ κύριος αὐτὸν ἀσπάζεται, «χαῖρε καὶ σύ, δοῦλε.» Τροχίλος λέγει, «τί ἐστιν, ὦ δέσποτα;» Γρηγόριος λέγει, «στ! σίγα, δοῦλε! σίγα καὶ ἄκουσον!» ὁ μὲν δοῦλος σιγᾷ. ὁ δὲ δεσπότης λέγει, «ἐν τῷ οἰνῶνί μού εἰσιν μόνον ἕνδεκα ἀμφορῆς οἰνοῦ. ποῦ ἐστιν ὁ ἄλλος;» ὁ μὲν δοῦλος σιγᾷ, οὐδὲ ἀποκρίνεται. ἡ δὲ Εὐγενία λέγει, «ἀποκρίνου, Τροχίλε! ὁ κύριος ἐρωτᾷ σε.» ὁ Τροχίλος ἀποκρίνεται, «ὁ οἶνός σου οὐκ ἐνθάδε ἐστιν. οὐκ οἶδα ἐγώ. ἐρώτα Σοσίαν!» ὁ μὲν Γρηγόριος νῦν τὸν Σωσίαν ἐρωτᾷ, «ποῦ ἐστιν ὁ οἶνός μου, Σωσία;» ὁ δὲ Σωσίας οὐδὲν ἀποκρίνεται. ὁ δὲ Γρηγόριος αὖθις ἐρωτᾷ αὐτόν, «ἀποκρίνου, δοῦλε, ποῦ ἐστιν ὁ ἄλλος ἀμφορεύς;» ὁ μὲν Σωσίας οὐδὲν λέγει, ὁ δὲ Τροχίλος κατηγορεῖ τοῦ Σωσίου, «ὁ ἀμφορεύς σου ἐν τῷ σάκκῳ αὐτοῦ ἐστιν!» ἡ δὲ Εὐγενία λέγει, «ἄκουσον, Σωσία, ὁ Τροχίλος κατηγορεῖ σου.» ὁ δὲ Σωσίας, «τί, τίνος κατηγορεῖ ὁ Τροχίλος; ἆρα μὴ ἐμοῦ;» Γρηγόριος δὲ λέγει, «σίγα, Τροχίλε. ὁ δοῦλος ὃς δούλου ἄλλου κατηγορεῖ, οὐκ ἔστιν δοῦλος ἀγαθός, ἀλλὰ πονηρός». σιγᾷ οὖν ὁ Τροχίλος . οὐ κατηγορεῖ τοῦ Σωσίου ὁ Γρηγόριος, ἀλλὰ ἐρωτᾷ αὐτόν, «ἆρα ὁ ἀμφορεύς μου ἐν τῷ σάκκῳ σου;» Σωσίας, «οὐδαμῶς, κύριε. ὁ ἀμφορεύς σου οὐκ ἔστιν ἐν τῷ σάκκῳ μου.» Γρηγόριος, «ποῦ ἐστιν ὁ σάκκος σου;» Σωσίας, «ἰδού, ὁ σάκκος μου πάρεστιν.»

ἀσπάζεται = λέγει, <<χαῖρε!>>

οὐκ οἶδα ἐγώ!

κατηγορεῖ

πονηρός : κακός
οὖν = ∴

ἰδού! : βλέπε!

Γρηγόριος: «θές τὸν σάκκον ἐπὶ τὴν τράπεζαν, καὶ ἄνοιξον αὐτόν.» ὁ οὖν Σωσίας τίθησι τὸν σακκὸν ἐπὶ τὴν τράπεζαν, καὶ αὐτὸν ἀνοίγνυται. νῦν δὲ ὁ σάκκος ἐστὶν ἐπὶ τῆς τραπέζας. ἆρα ἀμφορεὺς ἔνεστιν ἐν τῷ σάκκῳ; οὐχί. οὐκ ἔστιν ἀμφορεὺς τοῦ οἴνου ἐν τῷ σάκκῳ αὐτοῦ. ὁ δεσπότης ὁ Γηργόριος ὁρᾷ οὐδένα ἀμφορέα ἐν τῷ σάκκῳ. ὁ γὰρ σάκκος τοῦ Σωσίου ἐστὶν κενός. ὁ οὖν Γρηγόριος λέγει τῇ Εὐγενίᾳ, «ἰδού, ὁ Σωσίας δοῦλος ἀγαθός. τὸν γὰρ ἀμφορέα μου οὐκ ἔχει. χάριν σοι ἔχω, Σωσία! τὸν σάκκον λαβὲ καὶ ἀποχώρει.» ὁ οὖν Σωσίας λαμβάνει τὸν σάκκον καὶ ἀποχωρεῖ ἐκ τοῦ οἰνῶνος. ὁ δὲ Τροχίλος ἔτι πάρεστιν. ἆρα ὁ Τροχίλος τὸν οἶνον ἔχει;

ποτήριον **κενόν**

ποτήριον οὐ κενόν, ἀλλὰ **πλῆρές**

κύων **λαμβάνει** δίσκον.



κύων **ἔχει** δίσκον.

ἡ τρίτη σκηνή

ἀνὴρ **τίθησι** τὰ σκεύη ἐπὶ τὴν τράπεζαν

ἀνὴρ **ἀνοίγει** τὴν θύραν

γάρ : διότι

κόρη λέγει τῷ θεῷ <<**χάριν σοι ἔχω!**>>

ἀποχωρεῖ
(= ἀπέρχεται)

ὁ Γρηγόριος νῦν ἐρωτᾷ τὸν Τροχίλον, λέγων «ποῦ ἐστιν ὁ ἀμφορεύς μου, ὦ Τροχίλε;» ὁ δὲ Τροχίλος ἀποκρίνεται, λέγων, «οὐκ οἶδα. οὐκ ἔστιν ἐν τῷ σάκκῳ τῷ ἐμῷ.» ὁ οὖν Γρηγόριος κελεύει αὐτόν, «θὲς τὸν σάκκον ἐπὶ τὴν τράπεζαν, καὶ ἄνοιξον αὐτόν.» πρῶτον μὲν ὁ Τροχίλος ἐπὶ τὴν τράπεζαν τίθησι τὸν ἑαυτοῦ σάκκον, ἔπειτα δὲ ἀνοίγνυται αὐτόν. ἆρά ἐστιν ὁ οἶνος ἐν τῷ σάκκῳ; οὐδαμῶς. οὐκ ἔστιν οὐδέν. ὁ σάκκος αὐτοῦ οὐκ ἔστιν πληρής, ἀλλὰ κενός. ὁ Τροχίλος λέγει, «ἰδού, τὸν οἶνόν σου οὐκ ἔχω. καὶ ἐγὼ ἀγαθός εἰμι δοῦλος,» καὶ ἀποχωρεῖ. νῦν δὲ μόνον πάρεισιν ὁ Γρηγόριος καὶ ἡ Εὐγενία. ὁ μὲν Γρηγόριος ὀργίζεται, ἡ δὲ Εὐγενία οὔ. ὁ δὲ ἐρωτᾷ, «ἀλλὰ ποῦ ἐστιν ὁ ἀμφορεύς ὁ ἄλλος. ἕνδεκα μὲν πάρεισιν, εἷς δὲ ἄπεστιν. ἆρα σὺ οἶσθα, ὦ Εὐγενία;» ἡ δὲ Εὐγενία γελᾷ λέγουσα, «οὐκ οἶδα ἐγώ.» ἀλλὰ ἐν τῷ σάκκῳ αὐτῆς ἐστιν ἀμφορεὺς τοῦ οἴνου, καὶ κενός….	**κελεύει** = <<....!>> **πρῶτον μὲν...ἔπειτα δὲ** = 1)... 2)...